

Área de Estudios clásicos
**de la Universidad Carlos III de Madrid**

HOME
APOLO

# LOS ACARNIENSES
## ESCENA 1
Aristófanes

**Δικαιόπολις**
εὐφημεῖτε, εὐφημεῖτε.
προΐτω ς᾽ τὸ πρόσθεν ὀλίγον ἡ κανηφόρος·
ὁ Ξανθίας τὸν φαλλὸν ὀρθὸν στησάτω.
κατάθου τὸ κανοῦν ὦ θύγατερ, ἵν᾽ ἀπαρξώμεθα.

**Θυγάτηρ**
ὦ μῆτερ ἀνάδος δεῦρο τὴν ἐτνήρυσιν,
ἵν᾽ ἔτνος καταχέω τοὐλατῆρος τουτουί.

**Δικαιόπολις**
καὶ μὴν καλόν γ᾽ ἔστ᾽· ὦ Διόνυσε δέσποτα
κεχαρισμένως σοι τήνδε τὴν πομπὴν ἐμὲ
πέμψαντα καὶ θύσαντα μετὰ τῶν οἰκετῶν
ἀγαγεῖν τυχηρῶς τὰ κατ᾽ ἀγροὺς Διονύσια,
στρατιᾶς ἀπαλλαχθέντα· τὰς σπονδὰς δέ μοι
καλῶς ξυνενεγκεῖν τὰς τριακοντούτιδας.
ἄγ᾽ ὦ θύγατερ ὅπως τὸ κανοῦν καλὴ καλῶς
οἴσεις βλέπουσα θυμβροφάγον. ὡς μακάριος
ὅστις ς᾽ ὀπύσει κἀκποιήσεται γαλᾶς
σοῦ μηδὲν ἧττους βδεῖν, ἐπειδὰν ὄρθρος ᾖ.
πρόβαινε, κἀν τὤχλῳ φυλάττεσθαι σφόδρα
μή τις λαθών σου περιτράγῃ τὰ χρυσία.
ὦ Ξανθία, σφῷν δ᾽ ἐστὶν ὀρθὸς ἑκτέος
ὁ φαλλὸς ἐξόπισθε τῆς κανηφόρου·
ἐγὼ δ᾽ ἀκολουθῶν ᾄσομαι τὸ φαλλικόν·
σὺ δ᾽ ὦ γύναι θεῶ μ᾽ ἀπὸ τοῦ τέγους. πρόβα.

**Δικαιόπολις**

Φαλῆς ἑταῖρε Βακχίου
ξύγκωμε νυκτοπεριπλάνητε
μοιχὲ παιδεραστά,
ἕκτῳ ς᾽ ἔτει προσεῖπον ἐς
τὸν δῆμον ἐλθὼν ἄσμενος,
σπονδὰς ποιησάμενος ἐμαυτῷ,
πραγμάτων τε καὶ μαχῶν
καὶ Λαμάχων ἀπαλλαγείς.
πολλῷ γάρ ἐσθ᾽ ἥδιον, ὦ Φαλῆς Φαλῆς,
κλέπτουσαν εὑρόνθ᾽ ὡρικὴν ὑληφόρον
τὴν Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ Φελλέως
μέσην λαβόντ᾽ ἄραντα καταβαλόντα
καταγιγαρτίς᾽ ὠ
Φαλῆς Φαλῆς.
ἐὰν μεθ᾽ ἡμῶν ξυμπίῃς, ἐκ κραιπάλης
ἕωθεν εἰρήνης ῥοφήσει τρύβλιον·